## D. QUAE OLIM THESSALONICENSI, NUNC SIDONIO ADSCRIBIMUS

### LXIX [Ant. Thess. LIV G.–P.]

*γηραλέον νεφέλας τρῦχος τόδε καὶ τριέλικτον*
*ἰχνοπέδαν καὶ τὰς νευροτενεῖς παγίδας*
*κλωβούς τ' ἀμφιρρῶγας ἀνασπαστούς τε δεράγχας*
*καὶ πυρὶ θηγαλέους ὀξυπαγεῖς στάλικας*
*καὶ τὰν εὔκολλον δρυὸς ἰκμάδα τόν τε πετηνῶν*
*ἀγρευτὰν ἰξῷ μυδαλέον δόνακα*
*καὶ κρυφίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο*
*ἄρκυν τε κλαγερῶν λαιμοπέδαν γεράνων*
*σοί, Πὰν ὦ σκοπιῆτα, γέρας θέτο παῖς Νεολᾴδα*
*Κραῦγις ὁ θηρευτὰς Ἀρκὰς ἀπ' Ὀρχομενοῦ.*

### LXX [Ant. Thess. LXXXVI G.–P.]

*Ταντα λὶς †ἅδε ποχ' ἅδε δὶς ἑπτὰ τέκνα† τεκοῦσα*
*γαστρὶ μιᾷ Φοίβῳ θῦμα καὶ Ἀρτέμιδι·*
*κούρα γὰρ προὔπεμψε κόραις φόνον, ἄρσεσι δ' ἄρσην,*
*δισσοὶ γὰρ δισσὰς ἔκτανον ἑβδομάδας.*
*ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις,*
*οὐδ' ἐφ' ἑνὶ τλάμων λείπετο γηροκόμῳ·*
*μάτηρ δ' οὐχ ὑπὸ παισίν, ὅπερ θέμις, ἀλλ' ὑπὸ ματρός*
*παῖδες ἐς ἀλγεινοὺς πάντες ἄγοντο τάφους.*
*Τάνταλε, καὶ δὲ σὲ γλῶσσα διώλεσε καὶ σέο κούραν·*
*χἀ μὲν ἐπετρώθη, σοὶ δ' ἔπι δεῖμα λίθος.*